Ακαδημία Αθηνών / Academy of Athens

Legrand, Bibl. Hell. XV-XVI, 4, σ. 148-153. (Γ)

Ρένδιος
Θεόδωρος

οὐχ ὁ τυχών, ἀλλ' ὅς ἄν τῇ τε τοῦ βίου ὁσιότητι καὶ τοῖς ἄλλοις τῷ ἱερατικῷ προσήκουσι τάγματι παρὰ πᾶσιν εὐδοκιμῶν, τῆς ἀσκητικῆς ἀρετῆς φέρῃ τὰ πρωτεῖα

------ -.-----

» Τὰ μὲν οὖν περὶ τὴν ἀρετὴν καὶ τὴν εὐσέβειαν οὕτως ἡμῖν ἔχει. Τὰ δὲ περὶ τοὺς λόγους καὶ τὴν σοφίαν οὐχ ὡς ἄν τις τῶν φθονούντων εἰπεῖν εὐκαταφρόνητα, ἀλλὰ καὶ τῶν ἐν τοῖς δημοσίοις ἀναγινωσκομένων γυμνασίοις πολλῷ βελτίω καὶ χρησιμώτερα. Οὐ μόνον γὰρ τὰ τῆς γραμματικῆς, καὶ τῆς τονογραφίας, καὶ τῆς ποιητικῆς, μανθάνειν ἔξεσται τοῖς νέοις, ἀλλὰ καὶ προπαιδευθεῖσιν ἱκανῶς ἐν τούτοις προβιβάζεσθαι περαιτέρω, διαλεκτικῇ τε καὶ ῥητορικῇ ἐγγυμναζομένοις καὶ θεολογίαν μυουμένοις (sic). Τῷ μὲν οὖν θεολογίαν ἐπαγγέλλεσθαι προηγουμένως, μανθάνειν ἔξεσται

./.

Ακαδημία Αθηνών / Academy of Athens

τῶν παρ' ἡμῖν διδασκάλων ἀκροατῇ γινομένῳ· τῷ δὲ φιλοσόφων θεωρίαις ἡδομένῳ, καὶ τούτῳ παρὰ τῶν τὰ τοῦ Ἀριστοτέλους ἐξηγουμένων ἐξέσται ἐμφορεῖσθαι· ὥστε, τοιούτων ὑποτεθεισῶν ἀρχῶν, ἐλπὶς ἐστὶ βεβαία τὴν ἀρχαίαν σοφίαν καὶ περὶ τὰ θεῖα ἐπιστήμην ἀναλήψεσθαι τῷ χρόνῳ ποτὲ τοὺς νῦν δυστυχοῦντας Ἕλληνας...».

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ